www.tezaurliturgic.ro

# ΠΑΡΑΚΛΗΣΙΣ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΜΕΓΑΝ ΠΑΪΣΙΟΝ

Εὐλογήσαντος τοῦ ἱερέως, τό· Κύριε εἰσάκουσον, μεθ' ὃ τό· Θεὸς Κύριος, καὶ τὸ ἑξῆς.

Ἦχος δ'. Ὁ Ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τῷ θεοφόρῳ οἱ πιστοὶ νῦν προσδράμωμεν, οἱ ἁμαρτήσαντες ἡμεῖς καὶ βοήσωμεν, ἀπὸ καρδίας κράζοντες αὐτῷ καὶ ἐκ ψυχῆς, ἅγιε Παΐσιε, ἐξελοῦ σοὺς ἱκέτας, ἀπὸ πάσης θλίψεως, καὶ ἀνάγκης παντοίας, καὶ μὴ παρίδῃς δέησιν ἡμῶν, τῶν προσφευγόντων τῇ σκέπῃ σου Ὅσιε.

Δόξα Πατρί. Ὅμοιον.

Τῶν Μοναστῶν ὑπογραμμὸς καὶ κοσμήτωρ, τῶν Ἀσκητῶν χειραγωγὸς καὶ Μιγάδων, παιδαγωγὸς καὶ πάντων τὸ ἐντρύφημα, γέγονας Παΐσιε θεοφόρε τρισμάκαρ, ὅθεν καὶ νῦν πρέσβευε, παῤῥησίᾳ τῷ Κτίστῃ, ὑπὲρ ἡμῶν τῶν πίστει καὶ στοργῇ, προσπεφευγόντων τῇ σκέπῃ σου Ὅσιε.

www.tezaurliturgic.ro

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.
Οὐ σιωπήσωμέν ποτε Θεοτόκε.

Εἶτα ὁ Ν' Ψαλμός.

Καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· κατ' ἀλφάβητον.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Ἀνάγνοις μου χείλεσι πενιχράν, ᾠδήν σοι προσφέρω, ἐξελέσθαι με τῶν παθῶν, Παΐσιε Πάτερ, δυσωπῶ σε, τὸν προσδραμόντα τῇ πρεσβείᾳ σου.

Βοῶ κατοδύνου μου ἐκ ψυχῆς, Παΐσιε μάκαρ, ἐπιλάμψαι μοι φωτισμόν, ἐν σκότει κειμένῳ παναθλίως, βιοτικῶν ἡδονῶν συμπαθέστατε.

Γηΐνων φροντίδων ὅλως τὸν ῥοῦν, ἐξέφυγες πάτερ, τὰ οὐράνια ἐκζητῶν, ἐν οἷς ἠξιώθης ἀγελάζειν, σὺν τοῖς χοροῖς τῶν Ἀγγέλων Παΐσιε.

Θεοτοκίον.

Κακοῖς συνεχόμενον ἀγαθή, διάσωσον Κόρη, σοὶ προσπίπτω ὁ δυστυχής, Παρθένε με σῶσον παρ' ἀξίαν, τὸν προσφυγόντα τῇ σκέπῃ σου Πάναγνε.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Δαιμονίων ἐνέδρας, τῶν ἀπηνῶν Ὅσιε, πάσας ὑπεξῆλθες πανσόφως, πάτερ Παΐσιε, σὺ τὸ πολίτευμα, ἐν Οὐρανοῖς κεκτημένος, ὅθεν ἱκετεύω σε σύ μοι προΐστασο.

www.tezaurliturgic.ro

Ἐν ταῖς νόσοις μου πάτερ, καὶ τοῖς δεινοῖς πρόστηθι, καὶ ἐν ταῖς ἀνάγκαις σῷ δούλῳ, οἷα προστάτης μου, καὶ τούτων ῥῦσαί με, σὺ ἐκ καρδίας βοῶντα, σῶσον ἱκεσίαις σου μάκαρ Παΐσιε.

Ζῇς καὶ ἔτι ἐν βίῳ, τοῖς σοῖς σοφὲ θαύμασι, καὶ ἐν Οὐρανοῖς ἀπολαύεις, τῆς σῆς ἐφέσεως, Πάτερ θεόσοφε, καὶ ἐποπτεύεις ἀλήκτως, κάλλος τὸ ἀμήχανον, μάκαρ τοῦ Πλάστου σου.

Θεοτοκίον.

Ἁμαρτίας ὑπάρχων ὁλοσχερὲς φύραμα, καὶ τῶν τοῦ Θεοῦ ἐνταλμάτων, ὅλος ἀλλότριος, σοὶ νῦν ἐπέριμμαι, ἵνα με σαῖς ἱκεσίαις, οἰκτειρήσῃς Δέσποινα, τὸν ἀσυνείδητον.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου θεοφόρε, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου Ὅσιε, καὶ δώρησαι ψυχικὴν σωτηρίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Προστάτην θερμόν, καὶ μέγαν ἀντιλήπτορα, παμμάκαρ ἀεί, ἐκ πάσης περιστάσεως, καὶ κινδύνων Ὅσιε, τοὺς σοὺς δούλους ἐκλύτρωσαι τάχιον, καὶ ἐκ παντοίων νόσων καὶ παθῶν, καὶ δαιμονίων θεόφρον Παΐσιε.

www.tezaurliturgic.ro

### Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἠγωνίσθης θεσπέσιε, ἐν ἀγαλλιάσει μιμούμενος, τὸν Δεσπότην σου καὶ Κύριον, ἵνα μετ' Αὐτοῦ ἀεὶ εὐφραίνεσαι.

Θεοφόρε Παΐσιε, πάντας σοῦ ὁ βίος βροτοὺς ἐξέπληξε καὶ οὐράνια στρατεύματα, σοῖς ἀγῶσι, Πάτερ ὑπερηύφρανας.

Ἰωάννου τοῖς ἴχνεσι, μάκαρ ἠκολούθησας τοῦ θεόφρονος, ἐν ἐρήμοις διαιτώμενος, καὶ ἐν τοῖς ἀβάτοις Πάτερ ὄρεσι.

### Θεοτοκίον.

Λυτρωτὴν ἡ κυήσασα, σῶσόν με, Πανάμωμε τῆς κολάσεως, τὸν αὐτὴν δι' ἀκρασίαν μου, καὶ ἀτόποις ἔργοις μνηστευσάμενον.

### Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Κύκλῳ σῆς σκηνῆς, περιΐστασο Παΐσιε, ἣν καὶ φύλαττε ἀκράδαντον, ἐκ παντοίας, καὶ δεινῆς κακώσεως.

Λύτρον ἐκ παθῶν, σὺ γενοῦ ταῖς ἱκεσίαις σου, τοῖς ἱκέταις σου Παΐσιε, καὶ ἐκ πάσης ῥῦσαι περιστάσεως.

Μέλπειν σοῦ σοφέ, τοὺς καμάτους καὶ τὰ ἔπαθλα, σύ με δύναμιν χορήγησον, οὐρανόθεν Πάτερ ταῖς πρεσβείαις σου.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἔγειρον Ἁγνή, ἐκ νυκτὸς τῆς ἁμαρτίας με, καὶ τῆς ἑωθινῆς με Κόρη αὐγῆς, τῇ σῇ πρεσβείᾳ καταξίωσον τὸν ἄθλιον.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Νῦν ᾄδει σου ἡ Χριστοῦ Ἐκκλησία, τὰ τεράστια Παΐσιε πάτερ, ὅτι κακῶν, σῇ γεννήσει ἐῤῥύσω, ταύτην αἱρέσεων, ὅθεν τιμῶμέν σου, τὴν ἄσκησιν πανευλαβῶς, καὶ τὴν κοίμησιν μάκαρ γηθόμενοι.

Ξοάνων σε τῶν βεβήλων τιμῶμεν, καὶ αἱρέσεων στεῤῥὸν καταλύτην, ὅτι αὐτῶν, τὴν κακίαν διόλου, καὶ τὸν ἰὸν σὺ καθήρας Παΐσιε, καὶ γέγονας τῶν ἐντολῶν, τοῦ Δεσπότου σου φύλαξ πανόλβιε.

Ὁ βίος σου, ἀρετῶν ἅπας πλήρης καὶ ἀρχέτυπον Παΐσιε μάκαρ, σὺ γὰρ αὐτός, βρῶσιν ἔσχες καὶ πόσιν, δι᾽ ὧν τὴν τρίβον τὴν ὄντως διώδευσας, καὶ ἔφθασας τῶν ἀρετῶν, τὸ ἀκρότατον πάτερ, θεόσοφε.

Θεοτοκίον.

Ῥευμάτων με τῶν παθῶν μου Παρθένε, ἀπολύτρωσαι θερμῶς δυσωπῶ σε, σὺ γὰρ ζωή, τοῖς ποθοῦσιν ἐδείχθης, ἡ ὁδηγὸς πρὸς ζωὴν τὴν αἰώνιον, καὶ ῥῦσαί με ἐκ τοῦ πυρός, τοῦ ἀσβέστου Πανάμωμε Δέσποινα.

www.tezaurliturgic.ro

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου θεοφόρε, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου Ὅσιε, καὶ δώρησαι ψυχικὴν σωτηρίαν.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.

Ἦχος δ'. Προστασία τῶν Χριστιανῶν.

Σὺ προστάτης ἡμῶν ἱκανώτατος, καὶ μεσίτης πρὸς τὸν Ποιητὴν δυνατώτατος, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς συμπαθής, εἰς τὴν βοήθειαν ἡμῶν τῶν θερμῶς δυσωπούντων σε, τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ὁ προϊστάμενος ἡμῖν, τοῖς τιμῶσί σε Παΐσιε.

Οἱ ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ
περὶ πάντων, ὧν ἀνταπέδωκε ἡμῖν;

Εὐαγγέλιον Ὁσιακόν.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

www.tezaurliturgic.ro

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στίχ. Ἐλεήμων, ἐλέησόν με ὁ Θεός...

Ὅλην ἀποθέμενος, ἐν οὐρανοῖς τὴν ἐλπίδα, τὸ θεῖον μελέτημα, ταμιεύσας ἔνδοθεν, ἐχαλίνωσας, τὸν δεινὸν δράκοντα, τὸν πολλοὺς τρώσαντα, καὶ σταυροῦ δυνάμει Ὅσιε, νεκρώσας τέλεον, βίον ἐβιώσω ἰσάγγελον, Πατέρων τε γενόμενος πάντων ἀκροθίνιον ἔξοχον, ὅθεν ἐντυγχάνων, μεγίστης παῤῥησίας πρὸς Χριστὸν ὑπὲρ ἡμῶν καθικέτευε, μέγιστε Παΐσιε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Παῖδας τρισμάκαρ τῶν σῶν πόνων, διατήρησον ἀπὸ παντοίας βλάβης, καὶ ἀξίους αὐτοὺς ἀπέργασαι τοῦ ψάλλειν, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ρύμην παθῶν τῶν ψυχοφθόρων, πάτερ Ὅσιε, ἐξάλειψον σῶν δούλων, καὶ παντοίων ἡμῶν σὺ πλήρωσον τοῦ ψάλλειν, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Σέλας ἡλίου χρηματίσας, σύ μου φώτισον, τὸν νοῦν ἀμαυρωθέντα καὶ πορείας ὀρθὰς πορεύεσθαί με Πάτερ, ὁδήγησον καὶ στήριξον ἐντολαῖς ταῖς τοῦ Κυρίου.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Τέλωτος Κόρη φιληδόνου, ἀποξένωσον καὶ πένθους θεαρέστου καὶ δακρύων ῥοαῖς ἀπόπλυνον Παρθένε, τῷ τόκῳ ἵνα ψάλλων σου, σὺ εἶ Θεός μου εἰς αἰῶνας.

Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τοῦ Βασιλέως τῶν Οὐρανῶν στρατιώτης, ἐπὶ γῆς ἀήττητος ἐφάνης οὗ αἱ παρατάξεις, πρὸς τὰς ἀρχὰς τοῦ σκότους.

Ὑπασπιστήν σε οἱ ἐν ἐρήμοις θεόφρον, καὶ Μοναῖς Παΐσιε πλουτοῦντες, διὰ σοῦ καὶ λύσιν, εὕροιμεν τῶν πταισμάτων.

Φωτὸς υἱόν σε, καὶ φωτεργάτην εἰδότες, φῶς ἡμῖν κατάπεμψον τρισμάκαρ, ἐκ πηγῆς τῆς θείας φωτὸς τοῦ ἀνεσπέρου.

Θεοτοκίον.

Ἡ τῶν Ἀγγέλων σὺ τὸν Δεσπότην τεκοῦσα, καὶ ἄνθρωπον σῶσόν με, Παρθένε, δοῦλον γεγονότα, τοῖς δαίμοσιν ἀθλίως.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Χειμάῤῥων ζωηῤῥύτων, ἐντρυφῶν παμμάκαρ, ἐν οὐρανοῖς τῶν χειμάῤῥων με λύτρωσαι, τῆς ἁμαρτίας εὐχαῖς σου πάτερ Παΐσιε.

Τελλίζοντα τὸν ὕμνον, ἐξ ἁγνῆς καρδίας, δέξαι Παΐσιε πάτερ προσπίπτοντας, καὶ ἱλασμὸν ταῖς εὐχαῖς σου, πταισμάτων δώρησαι.

www.tezaurliturgic.ro

Ὡς Ἄγγελον γεραίρω, καὶ ὡς ἀθλητήν σε καὶ ἀσκητὴν τοῦ Κυρίου περίδοξον, καὶ τῶν αἰτούντων δοτῆρα, πάτερ Παΐσιε.

Θεοτοκίον.

Σαγήνη μετανοίας, ζώγρησον Παρθένε, τὸν ἀναιδῶς τῆς σῆς εὐνοίας φευξάμενον, καὶ Παραδείσου με δεῖξον, Κόρη οἰκήτορα.

Ἄξιόν ἐστιν καὶ τὰ παρόντα Μεγαλυνάρια.

Χαίροις ὅτι χάριτος ἐκ Θεοῦ, μάκαρ ἠξιώθης, τῆς μεγάλης τῶν δωρεῶν, ὅτι καὶ αὐτόπτης, Χριστοῦ ἐμαρτυρήθης, διὸ καὶ παῤῥησίας, πλείστης τετύχηκας.

Φύλαττε τοὺς δούλους σου ἐν παντί, κλήσει σου ἁγίᾳ, τοὺς ζητοῦντας σε βοηθόν, ἔν τε τῷ παρόντι καὶ μέλλοντι αἰῶνι, ταῖς πρὸς Θεὸν λιταῖς σου θεῖε Παΐσιε.

Παΐσιε μάκαρ τῶν Ἀσκητῶν, τῶν φερωνυμούντων σοι, καὶ σχόντων σε βοηθόν, τούτους κληρονόμους, ἱκέτευε γενέσθαι, τῆς θείας Βασιλείας καὶ ἁπαξάπαντας.

Τοὺς ἐπιτελοῦντας χαρμονικῶς, σοῦ τὴν θείαν μνήμην καὶ καλοῦντάς σε βοηθόν, σκέπε φρούρει τούτους ἀπὸ πάσης ἀνάγκης, Παΐσιε τρισμάκαρ, Ὁσίων καύχημα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

www.tezaurliturgic.ro

Τὸ τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.
Ἐκτενής, μεθ' ἣν ψάλλομεν τὰ ἑξῆς·

Ἦχος β'. Ὅτε ἐκ τοῦ Ξύλου.

Πάντων προστατεύεις καὶ φρουρεῖς, τῶν προσκαλουμένων ἐν πίστει τὴν θείαν κλῆσίν σου, καὶ τὸ τῆς εἰκόνος σου πόθῳ ὁμοίωμα, προσκυνοῦντας Παΐσιε, καὶ σκέπεις καὶ σώζεις, ἐκ παντοίων θλίψεων, ταῖς ἱκεσίαις σου, σὺ γὰρ ὡς αὐτόπτης Κυρίου, καὶ Πατὴρ πατέρων ὑπάρχων, παῤῥησίαν ἔχεις ἀκαταίσχυντον.

Ἕτερον ὅμοιον.

Μέγας ὄντως ὤφθης ἀρωγός, πάτερ τῶν εἰς σὲ προστρεχόντων, καὶ παραμύθιον, ῥῦσαι οὖν τοὺς δούλους σου, ἐκ πάσης θλίψεως, τοὺς ἐκ πόθου βοῶντάς σοι, καὶ προσκαλουμένους, μέγιστε Παΐσιε καὶ περιστάσεως, μάκαρ καὶ κολάσεως ὅπως, ἐν αἰνέσει πάντες τιμῶμεν καί ᾠδαῖς τὴν μνήμην σου γεραίρωμεν.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.